www.tezaurliturgic.ro

Ἱλαρίωνος Μοναχοῦ

# Κανὼν εἰς τὸν Ἅγιον Νεομάρτυρα Γεώργιον τὸν Χιοπολίτην, τὸν ἐν τῇ πόλει τῶν Κυδωνιῶν τῆς Μικρᾶς Ἀσίας ἀθλήσαντα ἐν ἔτει σωτηρίῳ 1807

Ἦχος πλ. δ'

Ἅγιον Ὄρος

2018

*Ἱλαρίωνος Μοναχοῦ*

**Κανὼν εἰς τὸν Ἅγιον Νεομάρτυρα Γεώργιον τὸν Χιοπολίτην, τὸν ἐν τῇ πόλει τῶν Κυδωνιῶν τῆς Μικρᾶς Ἀσίας ἀθλήσαντα ἐν ἔτει σωτηρίῳ 1807, οὗ ἡ ἀκροστιχίς, «Γεώργιον τὸν νεομάρτυρα ὑμνῶ», ἐν δὲ τοῖς Θεοτοκίοις «Ἱλαρίων Μ.». Ἦχος πλ. δ'**

*Ὠιδὴ Α' Ἁρματηλάτην Φαραώ.*

Γηθόμενός σοι νεομάρτυς ἔνδοξε, τοῦ Βασιλέως Χριστοῦ, ὕμνον ἀναμέλπων, πενιχρὸν Γεώργιε, τὸν νοῦν μου φωταγώγησον, τῇ θερμῇ σου πρεσβείᾳ, ὅπως τῶν ἄθλων ἐπάξιον, μέλψω σοι ᾠδὴν τῶν ἀγώνων σου.

Εὐσεβοφρόνων γεννητόρων βλάστημα, τῆς Χίου θρέμμα σεπτόν, καὶ Χριστοῦ μαρτύρων, νεομάρτυς ἔνδοξε, πανεύφημε Γεώργιε, καθωράθης καὶ σκάμμα, Κυδωνιῶν ἡ Μητρόπολις, γέγονε τῶν ἄθλων σου ἅγιε.

Ὡς νηπιάζων τῇ σαρκὶ Γεώργιε, καὶ ἀτελεῖ τῆς φρενός, τοῦ δολίου ὤφθης, ἐμπεσὼν τοῖς ἄρκυσι, ἀλλὰ Χριστοῦ τῇ χάριτι, κατασυνέτριψας ταύτας, τῇ στερροτάτῃ πανθαύμαστε, ἐν τοῖς αἰκισμοῖς καρτερίᾳ σου.

*Θεοτοκίον.*

Ἰσχὺν Παρθένε ἀγαθὴ μοι δώρησαι, ὅπως ἀξίως ᾠδήν, Γεωργίῳ μέλψω, θείῳ νεομάρτυρι, μεθ' οὗ τὸν πολυεύσπλαγχνόν σου Υἱὸν ἐκδυσώπει, δοῦναί μοι βίου διώρθωσιν, πρὸ τῆς τελευτῆς ὡς φιλάνθρωπος.

*Ὠιδὴ Γ' Οὐρανίας ἀψίδος.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ῥωμαλέως τρισμάκαρ, τῶν ἀσεβῶν ἔτρεψας, τὰς μηχανουργίας θεόφρον καὶ πανουργεύματα, ἐν τῇ καρδίᾳ σου, Χριστὸν Σωτῆρα ὡς ἔχων, παρ' οὗ καὶ σθενούμενος, ἀνδρείως ἤθλησας.

Γεωργήσας ἀξίως, τὴν τῆς ψυχῆς ἄρουραν, τῶν βασάνων σπόρῳ Γεώργιε καὶ τοῦ αἵματος, σοῦ προθυμώτατα διὰ Χριστὸν τῇ ἐκχύσει, στέφανον ἀπείληφας τῆς μαρτυρίας σου.

Ἱερὸν ὥσπερ θῦμα, τῷ Βασιλεῖ ἔνδοξε, τῶν ἁπάντων μάκαρ, Γεώργιε προσενήνεξαι, καὶ ὁλοκαύτωμα, αὐτῷ εὐσπρόδεκτον ὄντως, ἐκτομῇ ἀοίδιμε, τῆς θείας κάρας σου.

*Θεοτοκίον.*

Λούειν Κόρη παράσχου, μοὶ τὴν στρωμνὴν δάκρυσι, καὶ τὴν κλίνην ὅπως τὸν ῥύπον, τῶν ἀμετρήτων μου, ἐκπλύνω τάχιον, ἁμαρτημάτων Παρθένε, πρὶν ἡ νῦξ προφθάσῃ με τῆς τελειώσεως.

*Ὠιδὴ Δ΄ Εἰσακήκοα Κύριε.*

Οὐδὲ πῦρ οὐδὲ μάχαιρα, οὐδὲ ἅπαν εἶδος δεινῆς κολάσεως, τοῦ Χριστοῦ με ἀποστήσεται, ἔκραζεν ὁ μάρτυς αἰκιζόμενος.

Νικητὴς ἀναδέδειξαι, ἔνδοξε Γεώργιε κολαζόμενος, καταισχύνων τὴν παράνοιαν, τῶν τῆς Ἄγαρ γόνων ἀξιΰμνητε.

Τυραννούντων κατέβαλες, δύναμιν θεόφρον, τῇ καρτερίᾳ σου, καὶ γὰρ εἶχες δυναμοῦντά σε, τὸν Χριστὸν μακάριε Γεώργιε.

*Θεοτοκίον.*

Ἀπολλύμενον σῶσόν με, ἡ τῷ κόσμῳ Δέσποινα ἐκβλαστήσασα, τὸν Σωτῆρα ὅπως ἄπαυστα, ἀνυμνολογῶ τὴν δυναστείαν σου.

*Ὠιδὴ Ε΄ Ἵνα τί με ἀπώσω.*

Ὁ τὴν πίστιν τηρήσας, μέχρι τελευταίας σου πνοῆς ἀλώβητον, μηδὲν δειλιάσας, τῶν φρικτῶν κολασμῶν τὸ ἀμέτρητον, μηδὲ τοῦ θανάτου, διὸ ἀξίως στεφηφόρος, ἀνεδείχθης Χριστοῦ γενναιότατος.

Νουνεχῶς ἀπεδύσω, ταῖς βασάνοις ἔνδοξε μάρτυς Γεώργιε, τῶν παρανομούντων, ἀπειλὰς οὐδαμῶς λογισάμενος, ἵνα σὺν μαρτύρων, ἐν οὐρανοῖς συναγελάζων, τοῖς χοροῖς αἰωνίως ἀγάλλῃ.

Νεομάρτυρα ὄντως, οἱ πιστοὶ κηρύττομεν Χριστοῦ Γεώργιε, δι᾽ ὃν ἀθλοφόρε, ἀφορήτοις βασάνοις ὡμίλησας, καὶ τὴν κεφαλήν σου, τὴν πανσεβάσμιον ἐτμήθης, ἱερεῖον καθώσπερ γηθόμενος.

*Θεοτοκίον.*

Ῥυπωθεῖσαν τὴν φύσιν, τῶν ἀνθρώπων Δέσποινα τῷ παραπτώματι, ἐν Ἐδὲμ τὸ πάλαι, τοῦ Ἀδὰμ ἀπεκάθηρας τέξασα, τὸν Θεὸν ἀσπόρως, ἐνσαρκωμένον τοῖς ἀχράντοις, καὶ ἁγίοις σου ἄφθορε αἵμασι.

*Ὠιδὴ ΣΤ΄ Ἱλάσθητί μοι Σωτήρ.*

Εἰς τόπον ἔνθα χοροί, τῶν Ἀσωμάτων δυνάμεων, καὶ τῶν μαρτύρων πληθύς, ἀνέπτης Γεώργιε, ἐκτμηθεὶς τὴν κάραν σου, διὰ τὸν Σωτῆρα, τρισμακάριστε γηθόμενος.

Ὁ νεομάρτυς Χριστοῦ, ἐνδόξως ἀγωνισάμενος, τῶν ἀθανάτων γερῶν, διὸ κατηξίωται, δαψιλῶς ἰάσεων, τοὺς κρουνοὺς προχέων, τοῖς αἰτοῦσι μετὰ πίστεως.

Μαρτύρων θεῖος χορός, ἐν οὐρανοῖς ὑπεδέξατο, τὴν ἀθλητὴν τοῦ Χριστοῦ, κλεινὸν νεομάρτυρα, τὸν θεῖον Γεώργιον, ὡς πεφοινιγμένην, ἐξ αἱμάτων στολὴν ἔχοντα.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Θεοτοκίον.*

Ἱλέῳ Μῆτερ ἡμῖν, τῷ σῷ ἐπίβλεψον ὄμματι, καὶ πειρασμῶν τὸν πολύν, κατεύνασον κλύδωνα, καὶ πρὸς ὅρμον ἴθυνον γαληνὸν Παρθένε, τοὺς πιστῶς ὑμνολογοῦντάς σε.

*Ὠιδὴ Ζ' Παῖδες Ἑβραίων.*

Ἄρνα σε ὥσπερ ἀναλγήτως, ὁ σὸν δήμιος ἀπέτεμε τρισμάκαρ, ἀθλητὰ τοῦ Χριστοῦ, δι' ὅπερ ἠριθμήθης, ἐν οὐρανοῖς Γεώργιε, τῶν μαρτύρων ταῖς χορείαις.

Ῥῶσι τοῖς κάμνουσιν ἀφθόνως, καὶ τὴν ἴασιν παρέχεις τοῖς αἰτοῦσι, τοῖς σῇ πίστει θερμῇ, καὶ πόθῳ προσιοῦσι, καὶ ἐπικαλουμένοις σε, τοῦ Χριστοῦ ὡς ἀθλοφόρον.

Τάφῳ τῷ σῷ Κυδωνιέων, ἐγκαυχᾶται νῦν ἡ πόλις θεομάκαρ, καὶ σορὸν τὴν σεπτὴν, τῶν θείων σου λειψάνων, κατέχουσα ἀρδεύεται, τῶν ἰάσεων τοῖς ῥείθροις.

*Θεοτοκίον.*

Ὤφθης Παρθένος πρὸ τοῦ τόκου, καὶ ἐν τόκῳ Παρθένος καθωράθης, καὶ Παρθένος Ἁγνή, μετὰ τὸν τόκον ὤφθης, διὸ πιστῶς οἱ δοῦλοί σου, Μητροπάρθενον ὑμνοῦμεν.

*Ὠιδὴ Η' Ἑπταπλασίως κάμινον.*

Ὑπομονῇ Γεώργιε, τῶν τυράννων κατέπληξας, καὶ ἀνόμων στίφη, καὶ τῇ καρτερίᾳ σου, τὸν βύθιον δράκοντα, μάκαρ κατέβαλες ἀνδρικῶς, μέλπων τῷ Χριστῷ, καὶ Λυτρωτῇ ἀνεβόας, οἱ παῖδες εὐλογεῖτε, ἱερεῖς ἀνυμνεῖτε, λαοὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ῥαδίως ἐξετέλεσας, τὸν σὸν ἔνδοξε δίαυλον, τὸν Χριστὸν ὡς ἔχων, σοὶ ἰσχὺν παρέχοντα, ἐν πᾶσιν ὑπέρτερον, ἀναδεικνύντα τρισαριστεῦ, καὶ νικητικῷ σε στεφανοῦντα ἀξίως, τῷ στέφει ἀθλοφόρε καὶ δοξάζων θαυμάτων, τῷ πλήθει τοῖς ἐν πίστει, ἀεί σε αἰτουμένοις.

Ἀναψυχῆς πανάριστε, ὁ Χριστός σε ἐξήγαγε, ἅγιε εἰς τόπον, ἀφορήτοις πρότερον, βασάνοις Γεώργιε, ὡς διελθόντα καρτερικῶς, καὶ νῦν τῷ φωτί, τῆς Πανταιτίου Τριάδος, τῆς πανυπερουσίου, ἐλλαμπόμενοι μέλπεις, τὸν ὕμνον τῶν Ἀγγέλων, εἰς πάντας τοὺς αἰῶνας.

*Θεοτοκίον.*

Νοσούντων θεόνυμφευτε, σὺ ὑπάρχεις ἡ ἴασις, τῶν ἀδικουμένων ἡ θερμὴ ἀντίληψις, πταιόντων συγχώρησις, καὶ τῶν πεινώντων διατροφή, τῶν ἐν συμφοραῖς, παντοίαις ἡ σωτηρία, καὶ πάντων τῶν ἐν πίστει, σοὶ αἰτούντων Παρθένε, ἑτοίμη χορηγία, ὡς τοῦ Ὑψίστου Μήτηρ.

*Ὠιδὴ Θ΄ Ἐξέστη ἐπὶ τούτῳ.*

Ὑμνούντων ἐπεφάνη θεοτερπής, καὶ αἰνούντων ἡμέρα σωτήριος, καὶ φωταυγής, τὸν Θεὸν τὸν μέγαν καὶ θαυμαστόν, ἐν τοῖς ἁγίοις πέλοντα, καὶ ἐνδοξαζόμενον τοῖς αὐτοῦ, τοῦ νέου Γεωργίου, τοῦ τῇ Κυδωνιέων, πόλει ἐνδόξως ἐναθλήσαντος.

Μαρτύρων καὶ Ἀγγέλων ἐν οὐρανοῖς, οἱ χοροὶ συναγάλλονται σήμερον καὶ ἐν τῇ γῇ πᾶσα ἡ ὁμήγυρις τῶν πιστῶν, πανηγυρίζει μέλπουσα, ᾄσματα ἑόρτια καὶ χαρᾷ, Χριστοῦ τῷ στεφανίτῃ, ἐνδόξῳ Γεωργίῳ, καὶ τροπαιούχῳ νεομάρτυρι.

Νῦν ἄνω μετ' Ἀγγέλων ἐν οὐρανοῖς, καὶ μαρτύρων χορείαις Γεώργιε, καὶ ἐκλεκτῶν, πάντων σὺν τοῖς δήμοις τῷ Βασιλεῖ, Χριστῷ ἀπαύστως πρέσβευε, τὴν εἰρήνην δοῦναι τὴν ἑαυτοῦ, πιστῶν τῇ Ἐκκλησίᾳ, τῇ κλυδωνιζομένῃ, νεολογούντων εἰσηγήσεσι.

Ὠιδὴν τῶν Ἀρχαγγέλων οἱ ἐπὶ γῆς, τοῖς πηλίνοις ἡμῶν στόμασι μέλπομεν, ἅγιος εἶ, Παντοκράτωρ Ἄναρχος ὁ Πατήρ, ἅγιος ὁ συνάναρχος, ὁ Υἱὸς ὁ πάντων Δημιουργός, καὶ ἅγιον τὸ Πνεῦμα, τὸ συμφυὲς ἀχρόνως, ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον.

*Θεοτοκίον.*

Μεγάλων ἠξιώθημεν δωρεῶν, οἱ τοῦ Ὄρους τοῦ Ἄθω οἰκήτορες, Μῆτερ Θεοῦ, τῷ σε μεγαλύνειν διηνεκῶς, καὶ τὸν τεχθέντα Κύριον, ἐκ σοῦ ὡς Σωτῆρα καὶ Λυτρωτήν, τὸν πρὸ αἰώνων πάντων, ἐκ τοῦ Πατρὸς ἀρρεύστως, τὸν γεννηθέντα συναΐδιον.

*Προσόμοια.*

*Ὢ τοῦ παραδόξου θαύματος. Ἦχος πλ.δ΄.*

Χίος σε φυτὸν ἐβλάστησε, ἡ μυροβόλος τερπνόν, καὶ ἑώας ἐξέθρεψε, ἡ πόλις Γεώργιε, ὡς ἀμνὸν ἱερόθυτον, Κυδωνιέων Χριστῷ πανεύφημε, ὥσπερ τί σκάμμα θεοπρεπέστατον, καὶ τῶν λειψάνων σου, τὴν σορὸν κατέχουσα τὴν ἱεράν, σοὶ ἐγκαλλωπίζεται καὶ ἐπευφραίνεται.

Πλάνην ὀλεθρίαν πάνσοφε, καταβαλὼν τοῦ Σταυροῦ, τῇ δυνάμει ἐνήθλησας, νεομάρτυς ἔνδοξε, τροπαιοῦχε Γεώργιε, εἱρκταῖς ζοφώδεσιν ἐγκλειόμενος, καὶ ἀπανθρώπως καταικιζόμενος, καὶ ἐκτεμνόμενος, κεφαλὴν τὴν πάντιμόν σου ἀθλητά, πρὸς τὰ ἐπουράνια, χαίρων ἀνέδραμες.

Μάρτυς τοῦ Χριστοῦ τρισένδοξε, νῦν σὺν Ἀγγέλων χοροῖς, καὶ Μαρτύρων στρατεύμασι, καὶ ἁγίοις ἅπασι, τῷ Χριστῷ παριστάμενος, ἀδιαλείπτως τοῦτον ἱκέτευε, τοῖς ὑμνηταῖς σου ὁ πολυεύσπλαγχνος, τῆς διαζεύξεως, τῆς φρικτῆς δωρήσασθαι, τὴν σωστικήν, μνήμην καὶ τοῦ μέλλοντος πυρὸς λυτρώσασθαι.

Δόξης οὐρανὸν ἐνέπλησας, καὶ γῆν Παρθένε Ἁγνή, ὡς τῆς δόξης τὸν Κύριον, τὸν πᾶσιν ἀχώρητον, ἐν γαστρί σου ἐχώρησας, τὸν Κτίστην

πάντων καὶ Παντοκράτορα, Θεὸν οἰκοῦντα φῶς τὸ ἀπρόσιτον, δόξης Πανάχραντε, καὶ ἡμᾶς καταύγασον θείῳ φωτί, ὅπως ἀπαρξώμεθα, τῆς μετανοίας ὁδοῦ.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ